*Σπάρτη δὲ ποῦ γῆς ἐστι πλὴν ἵνα ῥοαὶ*
*τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνον;*
*ἁπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται.*
*Λακεδαίμονος δὲ γαῖα τίς ξυνώνυμος*
*Τροίας τε; ἐγὼ μὲν οὐκ ἔχω τί χρὴ λέγειν.*
*πολλοὶ γάρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ*
*ὀνόματα ταὔτ᾽ ἔχουσι καὶ πόλις πόλει*
*γυνή γυναικί τ᾽· οὐδὲν οὖν θαυμαστέον.*
*οὐδ᾽ αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα·*
*ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,*
*ὃς ὄνομ᾽ ἀκούσας τοὐμὸν οὐ δώσει βοράν.*
*κλεινὸν τὸ Τροίας πῦρ ἐγώ θ᾽ ὃς ἧψά νιν,*
*Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσῃ χθονί.*
*δόμων ἄνακτα προσμενῶ· δισσὰς δέ μοι*
*ἔχει φυλάξεις· ἢν μὲν ὠμόφρων τις ᾖ,*
*κρύψας ἐμαυτὸν εἶμι πρὸς ναυάγια·*
*ἢν δ᾽ ἐνδιδῷ τι μαλθακόν, τὰ πρόσφορα*
*τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.*
*κακῶν δ᾽ ἔθ᾽ ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,*
*ἄλλους τυράννους αὐτὸν ὄντα βασιλέα*
*βίον προσαιτεῖν· ἀλλ᾽ ἀναγκαίως ἔχει.*
*λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφὸν δ᾽ ἔπος,*
*δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.*

*XO.* *ἤκουσα τᾶς θεσπιῳδοῦ κόρας,*
*ἃ χρῄζουσ᾽ ἐφάνη τυράννοις*
*δόμοις, ὡς Μενέλαος οὔ-*
*πω μελαμφαὲς οἴχεται*
*δι᾽ ἔρεβος χθονὶ κρυφθείς,*
*ἀλλ᾽ ἔτι κατ᾽ οἶδμ᾽ ἅλιον*
*τρυχόμενος οὔπω λιμένων*
*ψαύσειεν πατρίας γᾶς,*